Rom. 4:1 Τί οὖν ἐροῦμεν εὑρηκέναι Ἀβραὰμ τὸν προπάτορα ἡμῶν
κατὰ σάρκα; 2 εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα,
ἀλλ᾽ οὐ πρὸς θεόν. 3 τί γὰρ ἡ γραφὴ λέγει; *ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ*
*θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.* 4 τῷ δὲ ἐργαζομένῳ ὁ
μισθὸς οὐ λογίζεται κατὰ χάριν ἀλλὰ κατὰ ὀφείλημα, 5 τῷ δὲ μὴ
ἐργαζομένῳ πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ λογίζεται
ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην· 6 καθάπερ καὶ Δαυὶδ λέγει τὸν
μακαρισμὸν τοῦ ἀνθρώπου ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην χωρὶς
ἔργων·

4 καὶ εὐθὺς φωνὴ κυρίου ἐγένετο πρὸς αὐτὸν λέγων Οὐ
κληρονομήσει σε οὗτος, ἀλλ’ ὃς ἐξελεύσεται ἐκ σοῦ,
οὗτος κληρονομήσει σε. 5 ἐξήγαγεν δὲ αὐτὸν ἔξω καὶ
εἶπεν αὐτῷ Ἀνάβλεψον δὴ εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον
τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν
Οὕτως ἔσται τὸ σπέρμα σου. 6 καὶ ἐπίστευσεν Αβραμ τῷ
θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

# Genesis 15:4-6

4 וְהִנֵּ֨ה דְבַר־יְהוָ֤ה אֵלָיו֙ לֵאמֹ֔ר לֹ֥א יִֽירָשְׁךָ֖ זֶ֑ה כִּי־אִם֙
אֲשֶׁ֣ר יֵצֵ֣א מִמֵּעֶ֔יךָ ה֖וּא יִֽירָשֶֽׁךָ׃ 5 וַיּוֹצֵ֨א אֹת֜וֹ הַח֗וּצָה
וַיֹּ֙אמֶר֙ הַבֶּט־נָ֣א הַשָּׁמַ֔יְמָה וּסְפֹר֙ הַכּ֣וֹכָבִ֔ים אִם־תּוּכַ֖ל
לִסְפֹּ֣ר אֹתָ֑ם וַיֹּ֣אמֶר ל֔וֹ כֹּ֥ה יִהְיֶ֖ה זַרְעֶֽךָ׃ 6 וְהֶאֱמִ֖ן בַּֽיהוָ֑ה
וַיַּחְשְׁבֶ֥הָ לּ֖וֹ צְדָקָֽה׃